εἴδους κακίας. δι᾽ ἃ ἔρχεται ἡ ὀργὴ τοῦ θεοῦ, ἐπὶ τὰ τοιαῦτα πράττοντας. καὶ ὑπὲρ τοῦ διαφυλαχθῆναι πάντας ἡμᾶς ἀπὸ τῶν διαβολικῶν τε ἐπερχομένων μαστίγων. λιμοῦ. λοιμοῦ. σεισμοῦ. καταποντισμοῦ. πυρός. μαχαίρας. ἐπιδρομῆς ἀλλοφύλων. καὶ ἐμφυλίου πολέμου. καὶ ὑπὲρ τοῦ ἵλεων καὶ εὐμενῆ. καὶ διαλλακτὴν γενέσθαι σε τὸν ἀγαθὸν καὶ φιλάνθρωπον θεὸν ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, τοῦ ἀποστρέψαι πᾶσαν ὀργὴν κινουμένην καθ᾽ ἡμῶν, καὶ ἐλεῆσαι ἡμᾶς:

Εὐχὴ λεγομένη μετὰ τὸ, καὶ ἐκτενῆ

Δέξαι φωνὰς τῶν οἰκετῶν σου δέσποτα θεὲ ὑπερπαντοκράτορ. ἐν ὥρᾳ ταύτῃ δεήσεις τῶν δούλων σου κύριε ὁ μονογενὴς υἱὸς Ἰησοῦ Χριστέ. πρόσχες τὴν κραυγὴν τοῦ λαοῦ σου. παράκλητε ὅσιε βασιλεῦ, ἡ μεγαλότης καὶ δύναμις καὶ βασιλεία. ἐπίσκεψαι τὴν πόλιν σου κινδυνεύουσαν. ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν ἡμῶν. καὶ στῆσον τὴν δικαίαν σου καθ᾽ ἡμῶν ἀγανάκτησιν. ἀξίωσον